ἄρδην. λέγω ς[......]ν· ὅcας ἀναcτάτους
πόλεις ἑόρακα[c, τ]οῦτ' ἀπολώλεκεν μόνον
ταύτας ὃ νῦν διὰ τοῦτον ἐξεύρηκ' ἐγώ.
ὅcοι τύραννοι πώποθ', ὅcτις ἡγεμὼν
μέγας, cατράπης, φρούραρχος, οἰκιcτὴς τόπου,
cτρατηγός—οὐ [...] ἀλλὰ τοὺς τελέως λέγω
ἀπολωλότας—[νῦν τ]ọῦτ' ἀνῄρηκεν μόνον,
οἱ κόλακες· οὗτọι̣ δ' εἰcὶν αὐτοῖc ἄθλιοι.
(Β.) cοβαρὸς μὲν ὁ λόγος· ὅ τι δὲ τοῦτ' ἐcτίν ποτε
οὐκ οἶδ' ἔγωγε.
(Α.) πᾶς τις ἂν κρίνας κακῶς
εὔνουν ὑπολάβοι τὸν ἐπιβουλεύοντά cοι.
(Β.) κἂν μὴ δύνηται;
(Α.) πᾶς δύναται κακῶς ποεῖν
ἂν μὴ φυλάττηι τὸν cφόδρ' ἰcχυρὸν [
]θ̣εν υ̣ἱον Ἀcτυάνακτος ὑ[πτίου
κατακειμένου δοίδυ[κι
τὴν ῥῖνα cυντρῖψαι μ[...] μ̣[........]α̣ν
ἀλλ' οὐχ ὁ πέντε μναῖς κα̣τ̣ε̣ς̣[κ]ε̣υ̣α̣[cμένος
ἐπ' αὐτὸ τοῦθ' ἥκων ἵν' ἐκειν[
οὐκ εὐπόρως ἂν τοῦτ' ἐποήcατ' [
φυλάττεται [
]c οἶδεν ὄντα κα[ὶ
] φυλάξεταί c' ὁμοίως [
]θύρα[
φήcει]c ὅτ̣ι̣ ς̣αυτοῦ τοὺς φίλους [
ὅτ̣[ι] πρὸς βίαν με [
τ[...]πεις [..χ]ωρήcει γὰρ αὐτοθ[
μεταπέμψεθ' ἑτέρους [..]cτρατ̣[
οὔ c' ἄρα φυλάξει. παῖδες. ἐκτρ̣ι̣β̣ή̣[cεται
ἤτοι ποθ' οὗτος ἢ cύ· πιcτευθεὶς δ̣[